www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν
# Ἅγιον Ἱλαρίωνα τὸν μέγαν

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν εἰς τὸν Ἅγιον Ἱλαρίωνα τὸν μέγαν, οὗ ἡ ἀκροστιχὶς κατ᾽ ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος πλ.δ᾽.

*Ὠιδὴ Α᾽ Ὑγρὰν διοδεύσας.*

Ἀγγέλων τὸν βίον ἐζηλωκώς, ἐκ παιδὸς θεόφρον, ἀπεμάκρυνας σεαυτόν, χλιδῆς τῶν ῥεόντων καὶ ἐρήμους, ἀγόνους πάντας χαρᾷ Πάτερ ᾤκησας.

Βημάτων ἑπόμενος τοῦ σοφοῦ, καὶ καθηγεμόνος, Ἀντωνίου ἀγγελικῶς, ἐβίωσας Πάτερ καὶ δαιμόνων, τῶν δυσμενῶν τὰς βουλὰς διεσκέδασας.

Γῆ ὥσπερ τρισόλβιε ἀγαθή, ἐδέξω τὸν σπόρον, τὸν οὐράνιον ἐν τῇ σῇ ψυχῇ Ἱλαρίων καὶ τοῖς πόνοις, ἑκατοστεύοντα τοῦτον ἐπλούτησας.

*Θεοτοκίον.*

Ἰάσω τὸν ἄνθρωπον, τὴν φωνήν, τοῦ Ἀγγέλου Κόρη δεξαμένη τοῦ Γαβριήλ, καὶ τοῦτον ἐν ὕλῃ βιωτεύειν Ἀγαθὴ κατηξίωσας.

*Ὠιδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα.*

Δάκρυσι τὴν ἄγονον, αὐχμῶσαν
ἤρδευσας ἔρημον, Πάτερ τοῖς σοῖς, καὶ
καρποὺς ἀξίους, τῷ Κυρίῳ προσέφερες.

Ἔδειξας μακάριε, τὰ τῶν δαιμόνων
φρυάγματα, ὅλως σαθρά, τοῖς ἀπαύστοις
πόνοις, τῆς ἀσκήσεως ὅσιε.

Ζέοντι προσέδραμες, πόθῳ Χριστῷ
παναοίδιμε, καὶ ἀσκητῶν Ἱλαρίων ὤφθης,
ἱερὸν ἀκροθίνιον.

*Θεοτοκίον.*

Λόγον τὸν χαρμόσυνον, ἐνωτισθεῖσα
Πανάχραντε, τοῦ Γαβριήλ, συνέλαβες Λόγον,
τοῦ Πατρὸς τὸν συνάναρχον.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ἡδονὰς τὰς τοῦ σώματος, Πάτερ
ἀπενέκρωσας, καὶ κατέφθασας, πρὸς λιμένα
τὸν ἀκύμαντον, τὸν τῆς ἀπαθείας
ἀγαλλόμενος.

Θαυμασίων ἐνέπλησας, πᾶσαν τὴν ὑφήλιον τῶν αἰτούντων σε, θεραπεύων ὁσιώτατε, ψυχῶν νόσους ἅμα καὶ τοῦ σώματος.

Ἱλαρότητι ὅσιε, ψυχῇ καὶ καρδίᾳ περικοσμούμενος, εὐποιΐας τὸν Δεσπότην σου, ἐν παντὶ τῷ βίῳ ἐθεράπευσας.

*Θεοτοκίον.*

Ἀπορρήτως συνέλαβες, τῇ τοῦ Ἀρχαγγέλου φωνῇ τὴν λύτρωσιν, τῶν ἀνθρώπων Παναμώμητε, διό σε ἀξίως μακαρίζομεν.

*Ὠιδὴ Ε΄ Φώτισον ἡμᾶς.*

Κόσμου τὰ τερπνὰ ἀπεσείσω παμμακάριστε, καὶ πόθῳ διαθέρμῳ Πάτερ Χριστῷ, τῷ σὲ καλοῦντι, ἐμφρόνως κατηκολούθησας.

Λάμπων ὡς ἀστήρ, ἐξ ἑώας ἐξανέτειλας, τοῖς ἔργοις τῆς ἀσκήσεως τὰ τῆς γῆς, πέρατα πάντα πανόσιε, κατεφαίδρυνας.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μάταια σοφὲ ἐναπέδειξας καὶ ἕωλα, τὰ τῶν ἐχθρῶν φρυάγματα τὸν Χριστόν, ἔχων οἰκοῦντα ἐν τῇ καρδίᾳ σου.

*Θεοτοκίον.*

Ῥήμασιν Ἁγνή, χαρμοσύνοις προσεφώνει σοι, ὁ Γαβριὴλ Ἀρχάγγελος τὸν Θεόν, οἰκεῖν ἐν μήτρᾳ τῇ σῇ εὐαγγελιζόμενος.

*Ὠιδὴ ΣΤ´ Ἱλάσθητί μοι Σωτήρ.*

Ναὸν Θεοῦ σεαυτόν, ὡς ἀληθῶς ἐργασάμενος, νηστείᾳ καὶ προσευχῇ, σχολάζων μακάριε, καὶ πόνοις τοῦ σώματος, τὴν ψυχήν σου Πάτερ, Ἱλαρίων ἀπεκάθηρας.

Ξύλον ὡσεὶ φυτευθέν, ταῖς διεξόδοις πανόλβιε, ὑδάτων καὶ ἀρετῶν, καρποῖς εὐθυνούμενος, ὤφθης τῷ Δεσπότῃ σου, καὶ Θεῷ τῶν ὅλων, θεοφόρε εὐαρέστησας.

Ὁδὸν στενὴν εὐσθενῶς, τὴν τεθλιμμένην διώδευσας, καὶ τῷ ζυγῷ τοῦ Χριστοῦ, ὑπήχθης μακάριε, τῶν δαιμόνων ἔτρεψας, δεινὰς παρατάξεις, πρὸς αὐτοῦ ἐνδυναμούμενος.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰὸν τοῦ δράκοντος πρίν, ὑπεισελθόντα ἐκάθηρας, βροτείῳ ἐν τῇ Ἐδέμ, τῷ γένει ἐν μήτρᾳ σου, συλλαβοῦσα Ἄχραντε, τὸν Θεὸν ἀφράστως, τοῦ Ἀγγέλου τοῖς μηνύμασι.

*Ὠιδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Πλοῦτον ἐκτήσω θεοφόρε, τὸν οὐράνιον τρισμάκαρ Ἱλαρίων, τῶν ματαίων σοφέ, καὶ φθειρομένων Πάτερ, ὡς κόνιν ἀπετίναξας, εὐσθενῶς καταφρονήσας.

Ῥήμασι τοῖς μελισταγέσι, τοῖς σοῖς πάνσοφε, ἀκέστωρ καθωράθης, τῶν ψυχῶν ἀληθῶς, καὶ τῶν σωμάτων ἅμα, τῶν πίστει προσιόντων σοι, καὶ τὰς νόσους ἀπελαύνων.

Σώφρων ἀκέραιος καὶ πρᾶος, Πάτερ ὤφθης καὶ πόνοις καὶ ἱδρῶσι, καὶ δακρύων ῥοαῖς, ἀπαύστοις τὸν Δεσπότην, μάκαρ ἐξιλεούμενος, Ἱλαρίων θεοφόρε.

*Θεοτοκίον.*

Ὡς καθαρώτατον δοχεῖον, εὑρῶν ἐκλεκτόν, ὁ Θεὸς Λόγος, ἐν τῇ μήτρᾳ τῇ σῇ, ἐνώκησε τὸ Χαῖρε, Παρθένε προσφωνήσαντος, Γαβριὴλ τοῦ Ἀρχαγγέλου.

*Ὠιδὴ Η΄ Τὸν Βασιλέα τῶν οὐρανῶν.*

Τὸν τῶν Ἀγγέλων ἐφάμιλλον αἱ χορεῖαι, ἀσκητῶν ἐν ἐνθέοις ὑμνοῦμεν, ᾠδαῖς ἐξαιτοῦντες, εὐχαῖς αὐτοῦ σωθῆναι.

Ὑπογραμμόν σε γινώσκοντες Ἱλαρίων, πράξεώς τε καὶ τῆς θεωρίας, σὲ ὑμνοῦμεν Πάτερ, ὡς ἀσκητῶν κρηπίδα.

Φιλοσοφίας τῆς ἄνω Πάτερ ἐγένου, ἐραστὴς τῶν προσγείων παρεῖδες, ὅθεν τῶν Ἀγγέλων, ἐφάμιλλος ἐδείχθης.

*Θεοτοκίον.*

Ναὸς ἐδείχθης τοῦ Κτίστου Παρθενομῆτορ, τῇ φωνῇ τοῦ Ἀγγέλου ἐν μήτρᾳ, τοῦτον συλλαβοῦσα, βροτῶν εἰς σωτηρίαν.

*Ὠιδὴ Θ΄ Κυρίως Θεοτόκον.*

Χοροῖς συνηριθμήθης Πάτερ τῶν Ἀγγέλων, καὶ τῶν Ἁγίων ἁπάντων Χριστῷ ἐκτενῶς, ὑπὲρ ἡμῶν ἱκετεύων μὴ παύσῃ ὅσιε.

Ψυχῶν καὶ τῶν σωμάτων, ὡς θεραπευτήν σε, γινώσκοντες Πάτερ πίστει θερμῇ, σοὶ Ἱλαρίων μακάριε καταφεύγομεν.

Ὠιδαῖς καὶ ὕμνοις Πάτερ, τὴν σὴν μνήμην γεραίρων, τυχεῖν με σοῦ δέομαι ταῖς εὐχαῖς, ταῖς σαῖς θεόφρον, πταισμάτων τὴν ἄφεσιν.

*Θεοτοκίον.*

Μητέρα σε Παρθένε, τοῦ Δεσπότου ὡς οὖσαν, οἱ ἐν τῷ Ἄθῳ μονάζοντες κλήρῳ τῷ σῷ, σοὶ τοῦ Ἀγγέλου τὸ Χαῖρε, ἀπαύστως κράζομεν.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ'*

Πάτερ Ἱλαρίων ὅσιε, τῶν περιγείων λιπών, τῷ ζυγῷ τοῦ Δεσπότου σου, ὑπέδυς μακάριε, καὶ αὐτῷ ἠκολούθησας, ὅθεν τοῖς πόνοις χαίρων ἐχώρησας, ἀξιοθαύμαστε τῆς ἀσκήσεως, καὶ τὰ σκηνώματα, τῶν Ἁγίων ἔφθασας ἐν οὐρανοῖς, τῷ Κυρίῳ πρέσβευε, ἐλεηθῆναι ἡμᾶς.

Ὄντως μιμητὴς πανάριστος, τοῦ Ἀντωνίου σοφέ, ἀνεδείχθης τοῖς ἴχνεσι, τούτου

www.tezaurliturgic.ro



ἐφεπόμενος, καὶ ἐν ὕλῃ ὁρώμενος, ἐβιωτεύσω Ἀγγέλων ὅσιε, ζωὴν ἀσώματον καὶ ὑπόδειγμα, καὶ ἀκροθίνιον, τοῖς συνοῦσι γέγονας καὶ ὁδηγός, μάκαρ καὶ ἀρχέτυπον, καὶ ἐγκαλώπισμα.

Ἄνω σὺν Ἀγγέλοις ὅσιε, καὶ τῶν ὁσίων χοροῖς, καὶ μαρτύρων στρατεύμασι, θρόνῳ παριστάμενος, τοῦ Δεσπότου μακάριε, τοῦτον μὴ παύσῃ ἐξιλεούμενος, ταῖς σαῖς πρεσβείαις ἡμῖν δωρήσασθαι, τὴν ἀπολύτρωσιν, τῶν δεινῶν καὶ θλίψεων καὶ ἐντυχεῖν, πρὸ τοῦ τέλους ἅψασθαι τῆς μεταγνώσεως.

Λόγος ἐξειπεῖν οὐ δύναται, τὴν τῶν πολλῶν μου δεινῶν, ἀμετρίαν καὶ ἅπασαν, τῶν αἰσχίστων πράξεων, τὴν πληθύν καὶ τὴν ἄνοιαν, τὴν ψυχωλέτειραν ταύτην Ἄχραντε, τῇ ἀπογνώσει με τὴν καθέλκουσαν, ἣν τῷ ἐλέει σου, τῷ ἀπείρῳ σθένωσόν με ἐκφυγεῖν, καὶ δός μοι τὴν ἔννοιαν, τῆς μετανοίας Ἁγνή.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ